ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν : μηδένα ζήλου, τῶν ἐξ ἀδικίας κερδαινόντων· ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλέον ἔχουσιν, ἀλλ᾽ οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι : πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον· μάλιστα δὲ, τὴν σαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι : πειρῶ τῷ μὲν σώματι εἶναι φιλόπονος· τῇ δὲ ψυχῇ, φιλόσοφος, ἵνα τῷ μὲν, ἐπιτελεῖν δύνῃ τὰ δόξαντα· τῇ δὲ, προορᾶν ἐπίστῃ τὰ συμφέροντα : πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας : νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ εὐτυχῶν ἔσῃ περιχαρής· οὔτε δυστυχῶν, περίλυπος : δύο ποιοῦ καιροὺς τοῦ λέγειν· ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν· ἐν τούτοις γὰρ μόνοις, ὁ λόγος τῆς σιγῆς κρείττων· ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν ἢ λέγειν : χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν· λυποῦ δὲ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν : μὴ γίγνου τοῖς ἄλλοις μηδ᾽ ἐν ἑταῖρος ὤν, κατάδηλος· ἄτοπον γὰρ, τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν : μᾶλλον εὐλαβοῦ ψόγον, ἢ κίνδυνον· δεῖ γὰρ εἶναι φοβερὰν, τοῖς μὲν φαύλοις, τὴν τοῦ βίου τελευτήν· τοῖς δὲ σπουδαίοις,

÷ οὔτ᾽ ε